τὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυεν, ἀφίησι κατὰ πετρῶν αὐτὴν, συνθλάσων τὸ δέρμα· ἡ δὲ, ἐνεχθεῖσα κατὰ τοῦ ποιητοῦ, φονεύει αὐτόν. Χρησμὸς δὲ ἦν αὐτῷ δοθεὶς οὕτως· « Οὐράνιόν σε βέλος κατακτανεῖ. » Αποθανόντα δὲ Γελῶοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες, ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες οὕτως·

Αἰσχύλον Εὐφορίωνος Αθηναῖον τόδε κεύθει
Μνῆμα καταφθίμενον πυροφόροιο Γέλας.
Αλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
Καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Εἰς τὸ μνῆμα δὲ φοιτῶντες, ὅσοις ἐν τραγῳδίαις ἦν ὁ βίος, ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. Αθηναῖοι δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον, ὡς ψηφίσασθαι μετὰ θάνατον αὐτοῦ, τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου χορὸν λαμβάνειν. Εβίωσε δὲ ἑξήκοντα καὶ τρία ἔτη, ἐν οἷς ἐποίησε δράματα ἑβδομήκοντα, καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ πέντε. Νίκας δὲ τὰς πάσας εἴληφε τρεισκαίδεκα· οὐκ ὀλίγας δὲ καὶ μετὰ τὴν τελευτὴν νίκας ἀπηνέγκατο.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG